# PARRHASIUS

## I [II p. 320B., I i 110D.]

*ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τάδ' ἔγραψε*
*Παρράσιος κλεινῆς πατρίδος ἐξ Ἐφέσου.*
*οὐδὲ πατρὸς λαθόμην Εὐήνορος, ὅς ⟨μ'⟩ ἀνέφυσε*
*γνήσιον, Ἑλλήνων πρῶτα φέροντα τέχνης.*

## II [II p. 321B., I i 111D.]

*εἰ καὶ ἄπιστα κλύουσι λέγω τάδε· φημὶ γὰρ ἤδη*
*τέχνης εὑρῆσθαι τέρματα τῆσδε σαφῆ*
*χειρὸς ὑφ' ἡμετέρης· ἀνυπέρβλητος δὲ πέπηγεν*
*οὖρος· ἀμώμητον δ' οὐδὲν ἔγεντο βροτοῖς.*

## III [II p. 321B., I i 111D.]

*οἷος δ' ἐννύχιος φαντάζετο πολλάκι φοιτῶν*
*Παρρασίῳ δι' ὕπνου, τοῖος ὅδ' ἐστὶν ὁρᾶν.*